ἰχνότητος παρενεχθῆναι (1), ὧν τȣ̀ς μὲν τοῖς ψηφοπαίκ-
ταις (2), τȣ̀ς δὲ τοῖς καρκίνοις μαστωμένȣς (3), ȣ̓κ ἀκόμ-
ψως ἐξείκασαν· Ἀλλὰ μηδεὶς διὰ τȣ̀ς καταχρησαμένȣς ἐκ-
φαυλίζειν ἐπιχειρείτω τὴν ἕξιν. (4). Οὐδὲ γὰρ ἐςι τυχὸν, ȣ̓-
δὲ τῶν ἄλλων ἐπιςημῶν εὑρεῖν ȣ̓δεμίαν, ȣ̓δὲ τῶν τεχνῶν, ȣ̓δὲ
καθόλȣ πασῶν τῶν παρ' ἀνθρώποις θαυμαζομένων δυνάμεών-
τε καὶ ἕξεων, ἣν ȣ̓κ ἄν ἔχοιτις ἐκ τρόπȣ μοχθηρίαστε καὶ
φαυλότητος, ἐπὶ τὸ χεῖρον παρενεγκεῖν, καὶ ἀντ' ὠφελείας,
βλάβης ȣ̓ τῆς τυχȣ́σης γινομένlω δεῖξαι παραίτιον (5).

§. ιέ. Ἀλλ' ἥδε μὲν ἡ Λογικὴ, καὶ τοιάδε, ἣν ὑφ' ἡγε-
μόνι τῷ τȣ̃ λόγȣ χορηγῷ καὶ δοτῆρι ΛΟΓΩ ἀναβαλλόμεθα
πραγματεύσασθαι. Καλὸν δὲ ἴσως καὶ τὰ μέρη τῆς πραγ-
ματείας εὐθὺς, ἐξ ἀρχῆς ὑπ' ὄψιν ἀγαγεῖν τοῖς ἐντευξομένοις,
ἵν εὐθυμότεροι τῆς δι' αὐτῆς ἅψοιντο πορείας, εἰ τȣ̀ς ἐν αὐτῇ
οἷον ἀναςαθμȣ̀ς προγινώσκοιεν ὅσοι τε, καὶ οἵτινες ἔσονται, προα-
κȣ́σαντες. Ἔσονται δ' ȣ̓̃ν κατὰ ἀριθμὸν τῶν τῆς ψυχῆς Γνω-
ςικῶν ἐνεργειῶν (Προδι. Γ', §. ή.), ἃς ἐκπεριελθεῖν ἁπάσας,
καὶ τὸ ἐν αὐταῖς ὀρθὸν κανονίσαι τῆς ἐν χερσὶ διδασκαλίας
ἔργον εἶναι εἴρηται. (§. έ. ή.). Αἱ δὲ ἐνέργειαι αὗται, ὡς μὲν
κοινῇ τίθενται τρεῖς εἰσίν· Ἥτε κατὰ Πρόσληψιν, καὶ ἡ κα-
τὰ Κρίσιν, καὶ τρίτη ἐπ' αὐταῖς ἡ κατὰ Διάνοιαν· αἷς καὶ
τετάρτlω προςιθέασίτινες τlὼ κατὰ τlὼ Μέθοδον. Ἡμῖν
δὲ πέντε τεθείσονται, τlὼ κατὰ Σκέψιν ἐνέργειαν τῆς ψυ-
χῆς, μεταξὺ τῶν ἄλλων ἀναγκαίως τε καὶ ἀπαραιτήτως ἐμ-
φιλοχωρεῖν ἐπὶ πλείςων ἡγȣμένοιστε, καὶ πειθομένοις. Καὶ
κατὰ ταύτας δὴ, καὶ τlὼ εἰς πέντε Μέρη κατατομlὼ τȣ̃
παρόντος ἡμῶν συγγραμματίȣ τȣ̃δε, ᾗ καλῶς ἔδοξεν ἔχειν,
διαιτήσασι.

ΤΗΣ

(1) Οἱ σχολαςικοὶ ὕςερον.

(2) Ἀρκεσίλαος παρὰ Στοβ.

(3) Ἀρίςων ὁ χῖος, παρὰ τῷ αὐτῷ.

(4) Ἐγένοντο οἱ εἰς τȣ̃το δεισιδαι-μονίας κ̀ ἀνοίας ἐλάσαντες, ὡς ὑπειλη-φέναι τὸν Διάβολον γενέθαι τὸν τῆς Διαλεκτικῆς, καὶ δὴ καὶ τῆς ὅλης Φι-λοσοφίας, εὑρετὴν, καθ' ὧν ὁ ἱερὸς Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν πρώτῳ Στρω-μάτων τὰ ἱκανὰ πρȣ̈χειρίσατο.

(5) Καθόλȣ δὲ ὅγε νȣ̃ν ἔχων, ȣ̓κ „τῶν ἐπιςημῶν ἔγκλημα δήπȣ θείη ἄ-„τις αὐταῖς μὴ κατὰ τρόπον χρῷτο. „Ἀλλὰ τῆς τῶν χρωμένων κακίας ἔγ-„κλημα εἶναι τȣ̃το νομίσαι. Πλȣτ. περὶ Μȣσικ.

# ΤΗΣ ΛΟΓΙΚΗΣ
# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ τῆς Πρώτης Ἐννοίας

## ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

### Τίςποτε ἐςὶν ἡ Πρώτη Ἔννοια. Καὶ ὅπως ἄρα ἐγγί-νεται τῇ ψυχῇ.

§. ά.

Τlὼ ἡμῖν αὐτοῖς περιȣ̃σαν δύναμιν, ᾗπερ ἀν-τιληπτικοὶ ἡμῶντε αὐτῶν, καὶ τῶν παρ' ἡ-μᾶς, ἄλλοτε ἄλλως γινόμεθα, (Προδι. Γ'. §. ά. δ'. έ.), Νȣ̃ν ἀποκαλεῖν ἀξιȣ̃μεν· Οὐ τὸ τȣ̃ ὀνόματος πολύσημον ἀγνοȣ̃ντες (Αὐτ. Σημ. §. ιά.) τὸ δὲ καὶ ταύτῃ τῆς ἐκδοχῆς ἐγκεκριμένον καλῶς ἐπιςάμενοι. Νȣ̃ δὲ ἔργον, τὸ τȣ̃ νοητȣ̃, ὅ, τί ποτ' ἂν ᾖ, ὡς παρόντος λα-βέσθαι, καὶ ἀῤῥήτοις συνόδοις ὁμόσε αὐτῷ χωρῆσαι καὶ συμ-πλακῆναι· τὸ δὲ ἔργον Ἐννόημα. (1).

§. β'.

(1) „Ἡ ψυχὴ ȣ̓σία Νοερά τε καὶ „λογικὴ ὑπάρχȣσα, καὶ νοεῖ, καὶ λο-„γίζεται· δύναμιν μὲν ἔχȣσα τὸν „Νȣ̃ν, κίνησιν δὲ τὴν νόησιν, ἐνέργειαν „δὲ τὸ νόημα. Πέρας γὰρ τȣ̃το τῆς-„τε τȣ̃ Νοȣ̃ντος καὶ τȣ̃ νοȣμένȣ νοή-σεως